32 [32]καὶ αἰνέσουσίν με ἐν γῇ ἀποικισμοῦ αὐτῶν καὶ μνησθήσονται
33 τοῦ ὀνόματός μου [33]καὶ ἀποστρέψουσιν ἀπὸ τοῦ νώτου αὐτῶν
τοῦ σκληροῦ καὶ ἀπὸ πονηρῶν πραγμάτων αὐτῶν, ὅτι μνησθήσον-
34 ται τῆς ὁδοῦ πατέρων αὐτῶν τῶν ἁμαρτόντων ἔναντι κυρίου. [34]καὶ
ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν
τῷ Αβρααμ καὶ τῷ Ισαακ καὶ τῷ Ιακωβ, καὶ κυριεύσουσιν αὐτῆς·
35 καὶ πληθυνῶ αὐτούς, καὶ οὐ μὴ σμικρυνθῶσιν· [35]καὶ στήσω αὐ-
τοῖς διαθήκην αἰώνιον τοῦ εἶναί με αὐτοῖς εἰς θεὸν καὶ αὐτοὶ ἔσον-
ταί μοι εἰς λαόν· καὶ οὐ κινήσω ἔτι τὸν λαόν μου Ισραηλ ἀπὸ
3 τῆς γῆς, ἧς ἔδωκα αὐτοῖς. — [1]κύριε παντοκράτωρ ὁ θεὸς Ισραηλ,
2 ψυχὴ ἐν στενοῖς καὶ πνεῦμα ἀκηδιῶν κέκραγεν πρὸς σέ. [2]ἄκουσον,
3 κύριε, καὶ ἐλέησον, ὅτι ἡμάρτομεν ἐναντίον σου· [3]ὅτι σὺ καθήμε-
4 νος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα. [4]κύριε παντο-
κράτωρ ὁ θεὸς Ισραηλ, ἄκουσον δὴ τῆς προσευχῆς τῶν τεθνηκό-
των Ισραηλ καὶ υἱῶν τῶν ἁμαρτανόντων ἐναντίον σου, οἳ οὐκ ἤ-
κουσαν τῆς φωνῆς κυρίου θεοῦ αὐτῶν καὶ ἐκολλήθη ἡμῖν τὰ κακά.
5 [5]μὴ μνησθῇς ἀδικιῶν πατέρων ἡμῶν, ἀλλὰ μνήσθητι χειρός σου
6 καὶ ὀνόματός σου ἐν τῷ καιρῷ τούτῳ· [6]ὅτι σὺ κύριος ὁ θεὸς
7 ἡμῶν, καὶ αἰνέσομέν σε, κύριε. [7]ὅτι διὰ τοῦτο ἔδωκας τὸν φόβον
σου ἐπὶ καρδίαν ἡμῶν τοῦ ἐπικαλεῖσθαι τὸ ὄνομά σου, καὶ αἰνέ-
σομέν σε ἐν τῇ ἀποικίᾳ ἡμῶν, ὅτι ἀπεστρέψαμεν ἀπὸ καρδίας
ἡμῶν πᾶσαν ἀδικίαν πατέρων ἡμῶν τῶν ἡμαρτηκότων ἐναντίον
8 σου. [8]ἰδοὺ ἡμεῖς σήμερον ἐν τῇ ἀποικίᾳ ἡμῶν, οὗ διέσπειρας ἡμᾶς
ἐκεῖ εἰς ὀνειδισμὸν καὶ εἰς ἀρὰν καὶ εἰς ὄφλησιν κατὰ πάσας τὰς
ἀδικίας πατέρων ἡμῶν, οἳ ἀπέστησαν ἀπὸ κυρίου θεοῦ ἡμῶν.
9 [9]Ἄκουε, Ισραηλ, ἐντολὰς ζωῆς, ἐνωτίσασθε γνῶναι φρόνησιν.
10 [10]τί ἐστιν, Ισραηλ, τί ὅτι ἐν γῇ τῶν ἐχθρῶν εἶ, ἐπαλαιώθης ἐν γῇ
11 ἀλλοτρίᾳ, [11]συνεμιάνθης τοῖς νεκροῖς, προσελογίσθης μετὰ τῶν εἰς
12 13 ᾅδου; [12]ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας. [13]τῇ ὁδῷ τοῦ θεοῦ εἰ
14 ἐπορεύθης, κατῴκεις ἂν ἐν εἰρήνῃ τὸν αἰῶνα. [14]μάθε ποῦ ἐστιν
φρόνησις, ποῦ ἐστιν ἰσχύς, ποῦ ἐστιν σύνεσις τοῦ γνῶναι ἅμα,
ποῦ ἐστιν μακροβίωσις καὶ ζωή, ποῦ ἐστιν φῶς ὀφθαλμῶν καὶ
15 εἰρήνη. — [15]τίς εὗρεν τὸν τόπον αὐτῆς, καὶ τίς εἰσῆλθεν εἰς τοὺς
16 θησαυροὺς αὐτῆς; [16]ποῦ εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν καὶ οἱ κυ-
17 ριεύοντες τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, [17]οἱ ἐν τοῖς ὀρνέοις τοῦ
οὐρανοῦ ἐμπαίζοντες καὶ τὸ ἀργύριον θησαυρίζοντες καὶ τὸ χρυ-
σίον, ᾧ ἐπεποίθεισαν ἄνθρωποι, καὶ οὐκ ἔστιν τέλος τῆς κτήσεως

33 επιστρεψ. A† | του $1^{0}$ > A† | πονηρων] pr. των A | αμαρτανοντων A
3 1 εκεκραξε A(†) || 2 ελεησον] + οτι θεος ελεημων ει και ελεησον A ||
3 συ > A*† || 4 κυριου] σου B†, > A† | εκολλ.] pr. προσ A || 7 του] και
B† | απο καρδιας] επι -διαν ABc || 8 τας > A† || 10 τι οτι εν] οτι εν τη
A || 13 τον αιωνα (cf. 3 bis et 4 35)] + χρονον A: cf. 32 Is. 9 6

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/756 UNIVERSITÄT LEIPZIG